# TEZAUR LITURGIC

## 12 FEBRUARIE

# PARACLISUL SF.CUVIOS MELETIE DE LA YPSENIS-RHODOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 Φεβρουαρίου
# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΜΕΛΕΤΙΟΝ ΤΟΝ ΕΝ ΥΨΕΝΗι

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοῦ Μελετίου νῦν Ὁσίου τοῦ νέου, περιχαρῶς τῶν φιλεόρτων χορεῖαι, Χριστιανῶν τιμήσωμεν, τὴν μνήμην πιστῶς, βίον τούτου ἐκμιμούμενοι, ἀρετὰς τὰς θεοειδεῖς, ἆθλα τὰ ἀσκητικά, πολιτείαν ἀρίστην, ὡς θεῖον πρέσβυν ἔχοντες Χριστῷ, ὅπως πρεσβεύῃ, ἡμῖν δοῦναι ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών,

οὗ ἡ ἀκροστιχίς: *Ὁσίου Μελετίου ἡδὺ μελώδημα.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ὀδμὴν εὐωδίας πνευματικῆς, Μελέτιε Πάτερ, δὸς ὑμνῆσαι σὴν βιοτήν, καὶ κάθαρον σῶμα νοῦν ψυχήν μου, πνευματοφόρε Ὁσίων ἀγλάϊσμα.

Σαρκὸς ἀλγηδόνας ὀδυνηράς, νοὸς ἐτροπάς μου, σὺν τοῖς πάθεσι τῆς ψυχῆς, μετάβαλε μάκαρ σαῖς πρεσβείαις, πρὸς τὸν Σωτῆρα καὶ δὸς τούτων ἄφεσιν.

Ἱκέτευε Πλάστην καὶ Λυτρωτήν, τοῦ δοῦναι πταισμάτων, ἀπολύτρωσιν καὶ παθῶν, κινδύνων καὶ θλίψεων ῥυσθῆναι, τοὺς σὲ ὑμνοῦντας Μελέτιε Ὅσιε.

*Θεοτοκίον.*

Ὀδύνην ψυχῇ μου τῇ ῥυπαρᾷ, προὐξένησε Μῆτερ, διανοίας ἡ πρὸς ῥοπήν, κινοῦσα τὴν φύσιν ἁμαρτία, ἀλλ' εἰς χαρὰν τὴν πικρίαν μετάτρεψον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑψηλόφρονος γνώμης παρ' ὃ δεῖ ἀπάλλαξον, καὶ δὸς ἄνω Πάτερ φρονεῖν μοι, ἀεὶ τὰ κρείττονα, ὥσπερ ἐβίωσας σύ, ἀμετεώριστος πέλων, ἵνα δόξης μέτοχον, Κύριος δείξῃ με.

Μιαρὰς τῶν δαμόνων σὺ στρατιὰς ἤλασας, ἔχθραν κατηγόροις πὐδόλως, μὴ ἐνδεικνύμενος, ταῖς προσευχαῖς καρτερῶν, ἀεὶ Χριστὸν ἱκετεύων, Ὃν ἡμᾶς λυτρώσασθαι, Πάτερ δυσώπησον.

Ἐχθρῶν ῥῦσαί με Πάτερ καὶ ψαλμικῶς Ὄνομα, μέγιστον ᾀδόντων Δεσπότου, τήρει ἀπήμονας, σὲ δὲ τιμώντων ᾠδαῖς, ὡς ταπεινὸς ἦσθα δοῦλος, μνήσθητι δεόμεθα, ἐν ὥρᾳ κρίσεως.

*Θεοτοκίον.*

Λοιμοῦ λύτρωσαι πάντας ὡς συμπαθὴς Δέσποινα, ἣ οὐλὰς ψυχῶν σωμάτων βαλσάμῳ χάριτος, ταῖς

μητρικαῖς πρὸς Θεόν, παρακαλεῖς μεσιτείαις, ταχὺ θεραπεύουσα, πάθη τ᾽ ἐλαύνουσα.

Διάσωσον, ὦ θεοφόρε Μελέτιε, δεινῶν μάνδραν τῆς Ὑψενῆς, καὶ τοὺς πιστοὺς ῥῦσαι περιστάσεων, τοὺς μνήμην σήν, πόθῳ ἐπιτελούντας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτην θερμὸν καὶ πρέσβυν πρὸς Φιλάνθρωπον, πτωχῶν ἀρωγόν, πασχόντων ἀντιλήπτορα, ὁδηγὸν κεκτήμεθα, σὲ μάκαρ τῶν πιστῶν πληθὺς κράζοντες· σπεῦσον ταχέως ῥῦσαι συμφορῶν, ὀργῆς ἀνάγκηγς κινδύνων καὶ θλίψεων.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἐξαιρέσεων λύτρωσαι, εἰδωλολατρίας τρισμάκαρ ἅπαντας, τοὺς ζητοῦντας σὴν ἀντίληψιν, καὶ παράσχου βίον ἀνεπίληπτον.

Τῶν λειψάνων σου χάρισιν, ὧν λελαμπρυσμένων εκ θείου Πνεύματος, νῦν κἀμῶν τῶν ἀνυμνούντων σε, ἴασαι ταχὺ ψυχῆς νοσήματα.

Ἰσχὺν δίδου τοῖς πάσχουσι, λύπην τῆς καρδίας ἡμῶν ἀφάνισον, καὶ χαρᾶς Χριστοῦ καταύγασον, τῷ φωτὶ τοὺς μέλποντάς σε Ἅγιε.

*Θεοτοκίον.*

Ὅπως ἵλεως γένηται, ἡμῖν ὁ Υἱός Σου ὁ πολυεύσπλαγχνος, δυσωποῦμέν Σε πανύμνητε, πάντας ἐκλυτρώσασθαι κολάσεως.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὕψωσον Θεῷ, ὦ Μελέτιε τὰς χεῖράς σου, καὶ πθῶν κόπασον τὴν ζάλην λιταῖς, σαῖς πρὸς Σωτῆρα, γαλήνην θείαν δωρούμενος.

Ἦρας τὸν Σταυρόν, τοῦ Χριστοῦ ἐπ᾽ ὤμων Ὅσιε, οὗ τῇ δυνάμει περιχαράκωσον, ἵνα δαιμόνων, κἀμεῖς τροπούμεθα φάλαγγας.

Δήλην τῆς ἁγνῆς, τὴν εἰκόνα Πάτερ εἵλκυσας, διὸ κἀμῶν ἕλκυσον ἄνω τὸν νοῦν, ὅπως ἀκτίστου Φωτός, τὴν θεάν κατίδωμεν.

*Θεοτοκίον.*

Ὕμνοις λιγυροῖς, μεγαλύνομέν Σε ἄχραντε, τὸν ἀχώρητον χωρήσασα γαστρί, Ὃν ἐκδυσώπει ἡμᾶς, τρυφῆς ἀξιώσασθαι.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Μετάνοιαν, πρὸς καλήν με ἴθυνον, καὶ πρὸς τρίβους τοῦ Χριστοῦ σωτηρίους, θεοπρεπῶς, ἱερώτατε Πάτερ, τῶν μοναστῶν καὶ πιστῶν ἐγκαλλώπισμα, τὸν μέλποντα περιχαρῶς, ἀρετάς σου καὶ θεῖα παλαίσματα.

Ἐπίχαρμα, ἐγενόμην δαίμοσιν, ἡδοναῖς τῆς ἁμαρτίας δουλεύσας, ὅ,τι παθῶν, ἡ ψυχὴ ἐμολύνθη,

καὶ ὡς ἰχθὺν ὁ βελίαρ ἐζώγρησεν, ἀλλὰ πρὸ τέλους ἐκβοῶ· Μελετίου λιταῖς Σῶτερ σῶσόν με.

Λευκόχροον, τὴν ψυχὴν ἀνάδειξον, ἀποκάθαρον παθῶν προσευχαῖς σου, νόσων δεινῶν, πειρασμῶν με ὀδύνης, ὦ Πάτερ ῥῦσαι κινδύνων καὶ θλίψεων, καρδίαν νοῦν σῶμα ψυχήν, ἐξ ἐχθρῶν ἀοράτων λυτρούμενος.

*Θεοτοκίον.*

Ὦ Δέσποινα, ἐκ παθῶν με νήστευσον, καὶ δυνάμει Σου ἐνίσχυσον θείᾳ, ὅ,τι τροφός, γλυκασμὸς καὶ ἀγάπη, ἡμῶν ὑπάρχεις ἐλπὶς καὶ μεσίτρια, ἀεὶ ὑμνοῦμέν Σε πιστῶς, προσκυνοῦντες τὸν ἄφραστον Τόκον Σου.

Διάσωσον, ὦ θεοφόρε Μελέτιε, δεινῶν μάνδραν τῆς Ὑψενῆς, καὶ τοὺς πιστοὺς ῥῦσαι περιστάσεων, τοὺς μνήμην σήν, πόθῳ ἐπιτελούντας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἀντιλήπτωρ τῶν Χριστιανῶν πέλεις Ὅσιε, καὶ μεσίτης πάντων τῶν πιστῶν πρὸς τὸν Κύριον, σὺ θεόφρον, τῶν μοναστῶν ἐδείχθης ὁδηγός, διὸ πρόφθασον θεῖε ποιμήν, εἰς τὴν βοήθειαν ταχύ, τῶν πιστῶς προσκαλούντων σε, ἴασαι ἀσθενοῦντας,

ἐκλύτρωσαι δαιμονῶντας, ἡμᾶς ἐκ βλάβης ἐξελοῦ, καὶ ἀνάγκης ἀξιάγαστε.

Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίους Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μὴ οὖν ἀποῤῥίψης με, σαρκὸς τὸν μεμολυσμένον, καὶ ψυχῆς τὸν ἄστατον, σὲ νῦν καταφεύγοντα ὁ πανάθλιος, Ὅσιε σῶσόν με, λιταῖς πρὸς Κύριον, ὢ Μελέτιε πανθαύμαστε, ἴασιν δώρησαι, ἄμφω καὶ κινδύνων ἐκλύτρωσαι, θλίψεων ἐξαιρούμενον, καὶ τῶν χαλεπῶν συμφορῶν τοῦ βίου, ὅπως ἀνυμνῶ σου, πληθὺν τῶν θαυμασίων ἀληθῶς, καὶ μεγαλύνω τοῖς ᾄσμασιν, ἄθλους καὶ καμάτους σου.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Δαιμόνων καθαιρέτα τῶν αἱρέσεων θράση καὶ τῶν βαρβάρων ὀφρύν, Μελέτιε παμμάκαρ, κατάβαλε ἐν τάχει, ἵνα χαίροντες μέλπωμεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἡμᾶς εὐσεβοφρόνως ἀνυμνοῦντά σε κλέος τῶν Ὀρθοδόξων λαῶν, σαῖς πρὸς Θεὸν πρεσβείαις, ἐκλύτρωσαι κινδύνων, καὶ εὐκλείας ἀξίωσον, τῆς Βασιλείας Θεοῦ, Μελέτιε θεόφρον.

Μετὰ τῶν Ἀσωμάτων αὐλιζόμενος Πάτερ καὶ τῶν Ἁγίων Χριστόν, ἱλέωσαι λιταῖς σου, κολάσες ῥυσθῆναι, θεοφόρε τοὺς κράζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ἁγνὴ νῦν καθορῶμεν ἀπειρόγαμον Νύμφην Σὲ ὡς κατεἱδε Μωσῆς, ἐν τῷ Σιναίῳ Βᾶτον, φλογὶ παραδοθεῖσαν, ἀλλ' δ' ἄφλεκτον μείνασαν, διὸ τὴν φλόγαν παθῶν, ἡμῶν σβέσον Παρθένε.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Γῆθεν ἀνῆλθες, πρὸς τὴν Σιὼν θεῖε Πάτερ, τοῦ ποθεῖν ὁρᾶν Χριστὸν Νυμφίον, ὅθεν προσευχαῖς σου, σὸν πόθον ἡμῖν δίδου.

Ἐλέους θείου, καὶ δωρεῶν πάντας πλήρου, καὶ Μονὴν τῆς Ὑψενῆς τιμῶσαν, σὲ τὸν ἀνευρόντα, εἰκόνα τῆς πανάγνου.

Ὦ πανοικτίρμον, σῶσον λιταῖς Μελετίου, τοὺς πιστῶς ἀπαύστως Σὲ ὑμνοῦντας, καὶ δοξολογοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ῥῦσαι γεένης, τῶν οὐρανῶν πλατυτέρα, γηγενῶν τ' ἁγνὴ ἁγιωτέρα, ἡμᾶς Σὲ ὑμνοῦντας, καὶ σκέπε πάσης βλάβης.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον δὸς βίον, φύλαττε μοι Σῶτερ, τοῦ Μελετίου λιταῖς τὸν προσφέροντα, τόνδε τὸν ὕμνον καὶ πάντας διάσωσον.

Ἱκέτευε Σωτῆρα, ὅπως ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ ἡμᾶς ὦ σεπτέ, τοὺς σὴν πανένδοξον μνήμην πανηγυρίζοντας.

Ὀρδὰς τῶν ἀλλοπίστων, τρέψον πόῤῥῳ Πάτερ, ἡμᾶς τοὺς ἐπαπειλοῦντας δουλῶσθαι οἰκτρῶς, καὶ ὑπερμάχει Ἑλλήνων ἀεὶ τιμώντων σε.

*Θεοτοκίον.*

Ὑψίστου ἡ καθέδρα, Ὑψενὴ ὑπάρχεις, διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῶς Θεοτόκον ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Χαίροις ὁ τῆς Λάρδου θεῖος βλαστός, ἄνθος τῶν Ῥοδίων, Ἐκκλησίας λαμπρὸς ἀστήρ, ὁ διδασκαλίαις, Χριστιανοὺς στηρίξας, τῇ πίστει ἐν δουλείας, χαλεποῖς ἔτεσιν.

Χαίροις ὑπὸ δένδρου ῥίζης εὑρών, εἰκόνα Παρθένεου, ἐν τῷ τόπῳ τῆς Ὑψενῆς, καὶ ναῷ ἐγείρας,

τὸ πρῶτον εἶτα μάνδρα, ἐν ᾗ ποιμὴν ἀξίως, γέγονας Ὅσιε.

Ὢ κατορθωμάτων ἀσκητικῶν, ἱδρώτων καμάτων, δακρυῤῥόων τε προσευχῶν, ὢ σῆς ἐγκρατείας, καὶ αὐστηρᾶς νηστείας, δι᾽ ὧν σὸν βίον Πάτερ, ὄντως ἐκόσμησας.

Ῥῦσαι τῶν παγιδων τοῦ πομνηροῦ, τοὺς σοὺς ἐξυμνοῦντας, θείους ἄθλους Πάτερ σοφέ, ἐνάρετον βίον, καὶ πλῆθος θαυμασίων, ἃ ἔτι ζῶν ἐτέλεις, ἐν γῇ πανθαύμαστε.

Ἱκεσίαις δέξαι πάντων ἡμῶν, τῶν πιστῶς τιμώντων, σὴν πανένδοξον ἑορτήν, διδάσκαλε θεῖε, Μελέτιε θεόφρον, καὶ Ὑψενῆς τὴν μάνδραν, τήρει ἀσάλευτον.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, σὲ παρακαλοῦμεν, ὑπὲρ δούλων ἁμαρτωλῶν, Μελέτιε μάκαρ, τῶν σοῦ ὑμνολογούντων, τὴν φωτοφόρον μνήμην, ὡς πρέσβυς ἔνθερμος.

Ὕβριν ἀποδίωξον ἀφ᾽ ἡμῶν, πάθη ψυχοφθόρα, δυσπιστίαν καταλαλιάν, τὴν φιλαργυρίαν, σὺν τῇ φιληδονίᾳ, καὶ ἀρετῶν ἀντίδος, καρπὸν Μελέτιε.

Μή μοι δὸς Θεῷ τὸ καταφρονεῖν, τῶν παραγγελμάτων, καὶ θελήματος ἀγνοεῖν, ἀλλὰ διδαχαῖς σου, καὶ προσευχαῖς παράσχου, τὸν φωτισμὸν καὶ γνῶσιν, Πάτερ τὴν ἔνθεον.

Νόσων τάχυ ἴασαι λοιμικῶν, τοὺς σὲ εὐφημοῦντας, καὶ Μονὴν σκέπε Ὑψενῆς, ἣν ἐν νήσῳ Ῥόδῳ, ἀνήγειρας θεόφρον, τοῖς χαῖρέ σοι βοῶσι, Πάτερ Μελέτιε.

Τοὺς καταφιλοῦντας σεπτὰ ὀστά, κάραν σου ἐν θήκῃ, καὶ εἰκόνα τῆς Ὑψενῆς, ῥῦσαι ἐκ κινδύνων, καὶ χάριν σὴν παράσχου, Μελέτιε Πατέρων, θεῖον ἐντρύφημα.

Σὺν τῷ Κωνσταντίνῳ Ὕδρας βλαστῷ, Νεομάρτυρί τε, μαρτυρήσαντα εὐκλεῶς, ἐν Ῥόδῳ καὶ νήσου, παντάπασιν Ἁγίοις, Μελέτιε δυσώπει, Χριστὸν φιλάγαθον.

Ὕμνον Ὑψενῆ Σοι Γεθσημανῆ, πέμπει κτίσις Μῆτερ, φάτνη σπήλαιον Βηθλεέμ, Ἄγγελοι Ποιμένες, ἀστὴρ Μάγοι σὺν δώρις, γῆ οὐρανὸς ἡμεῖς δέ, Σὲ μεγαλύμομεν.

Γένναν Σου δοξάζομεν Μαριάμ, ἐν ναῷ Κυρίου, θείαν εἴσοδον εὐλαβῶς, Εὐαγγελισμόν τε, Γένναν Μονογενοῦς Σου, λοχείαν σὺν Συνάξει, καὶ Σὴν Μετάστασιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα.Ἦχος πλ. β΄*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ

λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Πέλεις, μοναζόντων ὁδηγός, τῶν Χριστιανῶν ἀντιλήπτωε, Μελέτιε ἱερέ, εὐσεβῶν διδάσκαλος, καὶ στηριγμὸς τῶν πιστῶν, καταπλήττων τοῖς θαύμασι, τοὺς πόθῳ δραμόντας, καὶ στηριγμὸς τῶν πιστῶν, καταπλήττων τοῖς θαύμασι, τοὺς πόθῳ δραμόντας, καὶ ἐπιστασίαν σου, ἐπιζητούντων θερμῶς, ὅθεν, δίδου πᾶσι τὰ κρείττω, σώζων ἐκ φθορᾶς νοσημάτων, τοὺς τὴν θείαν μνήμην σου γεραίροντας.

Δέξαι, ὦ Μελέτιε σεπτέ, ὕμνον ἱερὸν ᾆσμα θεῖον, πρὸς σὲ νῦν περιχαρῶς, ῥόδα μῦρα δάκρυα, ἐν μετανοίᾳ θερμῇ, κατανύξει καὶ πόθῳ τε, πιστῶς τὴν σὴν κάρα, κατασπαζομένων σου, σὺν τῷ λειψάνῳ ὁμοῦ, Πάτερ, σκέπε πάντας βοῶντας· ῥῦσαι ἐκ

κινδύνων καὶ νόσων, σῴζων καὶ φρουρῶν ἡμᾶς ἐκ θλίψεων.

Σὺ εἶ ὁ προστάτης τῶν πιστῶν, τῆς Μονῆς Ὑψενῆς ὁ κτίτωρ, πασχόντων ὁ βοηθός, δρόσος καὶ ἀνάψυξις, χαρὰ καὶ φῶς τῶν τυφλῶν, ἰατρὸς τῶν νοσούντων τε, τροφὴ δεομένων, σκέπη παραμύθιον, χηρῶν καὶ τῶν ὀρφανῶν, πάντων, ὁδηγὸς ἀντιλήπτωρ, τεῖχος καταφύγιον Πάτερ, τῶν σοὶ προστρεχόντων ὦ Μελέτιε.

Χαῖρε, Θεοτόκε Ὑψενῆς, Κρεμαστῆς προστασία, Τσαμπίκας Λίνδου φρουρά, Φιλερήμου καύχημα, Σκιαδενῆς ἡ ἐλπίς, Ἐλεούσης τὸ στήριγμα, τῆς Φανερωμένης, τεῖχος μετ' Ἀσκληπειοῦ, τῆς Παντανάσσης χαρά, τῆς Παραμυθίας Ἀφάντου, Ἔμπωνας Ἀμάρτου ἡ φύλαξ, καὶ Νεοχωρίου τὸ ὀχύρωμα.

Ἄνασσα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, αἰωνίου πυρὸς Βᾶτε ἄφλεκτε.
Εἰκόνι προσπίπτω Σοι Ὑψενῆ Μητρόθεε, ῥῦσαί με πυρός, ἵν' ᾄδω Σοι τὴν ἀξιΰμνητον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*

